Οζιας, ὡς ὤμοσεν αὐτοῖς παραδώσειν τὴν πόλιν μετὰ ἡμέρας πέντε
τοῖς Ἀσσυρίοις· [10]καὶ ἀποστείλασα τὴν ἅβραν αὐτῆς τὴν ἐφεστῶ- 10
σαν πᾶσιν τοῖς ὑπάρχουσιν αὐτῆς ἐκάλεσεν Χαβριν καὶ Χαρμιν τοὺς
πρεσβυτέρους τῆς πόλεως αὐτῆς, [11]καὶ ἦλθον πρὸς αὐτήν, καὶ εἶ- 11
πεν πρὸς αὐτούς Ἀκούσατε δή μου, ἄρχοντες τῶν κατοικούντων
ἐν Βαιτυλουα· ὅτι οὐκ εὐθὴς ὁ λόγος ὑμῶν, ὃν ἐλαλήσατε ἐναν-
τίον τοῦ λαοῦ ἐν τῇ ἡμέρᾳ ταύτῃ καὶ ἐστήσατε τὸν ὅρκον τοῦτον,
ὃν ἐλαλήσατε ἀνὰ μέσον τοῦ θεοῦ καὶ ὑμῶν καὶ εἴπατε ἐκδώσειν
τὴν πόλιν τοῖς ἐχθροῖς ἡμῶν, ἐὰν μὴ ἐν αὐταῖς ἐπιστρέψῃ κύριος
βοήθειαν ὑμῖν. [12]καὶ νῦν τίνες ἐστὲ ὑμεῖς, οἳ ἐπειράσατε τὸν θεὸν 12
ἐν τῇ ἡμέρᾳ τῇ σήμερον καὶ ἵστατε ὑπὲρ τοῦ θεοῦ ἐν μέσῳ υἱῶν
ἀνθρώπων; [13]καὶ νῦν κύριον παντοκράτορα ἐξετάζετε καὶ οὐθὲν 13
ἐπιγνώσεσθε ἕως τοῦ αἰῶνος. [14]ὅτι βάθος καρδίας ἀνθρώπου οὐχ 14
εὑρήσετε καὶ λόγους τῆς διανοίας αὐτοῦ οὐ διαλήμψεσθε· καὶ πῶς
τὸν θεόν, ὃς ἐποίησεν πάντα ταῦτα, ἐρευνήσετε καὶ τὸν νοῦν αὐ-
τοῦ ἐπιγνώσεσθε καὶ τὸν λογισμὸν αὐτοῦ κατανοήσετε; μηδαμῶς,
ἀδελφοί, μὴ παροργίζετε κύριον τὸν θεὸν ἡμῶν. [15]ὅτι ἐὰν μὴ βού- 15
ληται ἐν ταῖς πέντε ἡμέραις βοηθῆσαι ἡμῖν, αὐτὸς ἔχει τὴν ἐξου-
σίαν ἐν αἷς θέλει σκεπάσαι ἡμέραις ἢ καὶ ὀλεθρεῦσαι ἡμᾶς πρὸ
προσώπου τῶν ἐχθρῶν ἡμῶν. [16]ὑμεῖς δὲ μὴ ἐνεχυράζετε τὰς βουλὰς 16
κυρίου τοῦ θεοῦ ἡμῶν, ὅτι οὐχ ὡς ἄνθρωπος ὁ θεὸς ἀπειληθῆναι
οὐδ᾽ ὡς υἱὸς ἀνθρώπου διαιτηθῆναι. [17]διόπερ ἀναμένοντες τὴν παρ᾽ 17
αὐτοῦ σωτηρίαν ἐπικαλεσώμεθα αὐτὸν εἰς βοήθειαν ἡμῶν, καὶ εἰσ-
ακούσεται τῆς φωνῆς ἡμῶν, ἐὰν ᾖ αὐτῷ ἀρεστόν. [18]ὅτι οὐκ ἀνέστη 18
ἐν ταῖς γενεαῖς ἡμῶν οὐδέ ἐστιν ἐν τῇ ἡμέρᾳ τῇ σήμερον οὔτε
φυλὴ οὔτε πατριὰ οὔτε δῆμος οὔτε πόλις ἐξ ἡμῶν, οἳ προσκυνοῦσι
θεοῖς χειροποιήτοις, καθάπερ ἐγένετο ἐν ταῖς πρότερον ἡμέραις·
[19]ὧν χάριν ἐδόθησαν εἰς ῥομφαίαν καὶ εἰς διαρπαγὴν οἱ πατέρες 19
ἡμῶν καὶ ἔπεσον πτῶμα μέγα ἐνώπιον τῶν ἐχθρῶν ἡμῶν. [20]ἡμεῖς 20
δὲ ἕτερον θεὸν οὐκ ἔγνωμεν πλὴν αὐτοῦ· ὅθεν ἐλπίζομεν ὅτι οὐχ
ὑπερόψεται ἡμᾶς οὐδ᾽ ἀπὸ τοῦ γένους ἡμῶν. [21]ὅτι ἐν τῷ λημ- 21
φθῆναι ἡμᾶς οὕτως καὶ λημφθήσεται πᾶσα ἡ Ιουδαία, καὶ προνομευ-
θήσεται τὰ ἅγια ἡμῶν, καὶ ἐκζητήσει τὴν βεβήλωσιν αὐτῶν ἐκ τοῦ
αἵματος ἡμῶν [22]καὶ τὸν φόνον τῶν ἀδελφῶν ἡμῶν καὶ τὴν αἰχ- 22
μαλωσίαν τῆς γῆς καὶ τὴν ἐρήμωσιν τῆς κληρονομίας ἡμῶν ἐπι-
στρέψει εἰς κεφαλὴν ἡμῶν ἐν τοῖς ἔθνεσιν, οὗ ἐὰν δουλεύσωμεν

9 ως] ος B† || 10 αυτης 2⁰] -τη S* | χαβρειμ A† || 11 εν 1⁰ > SA | τουτον > BS | κυριος] pr. ο BS | βοηθ(ε)ιαν] -θειν S†, -θησαι A || 12 ιστασθε *L*S^c || 14 διαλημψεσθε] καταλ. S† | παντα] pr. τα B† | ερευνησατε A†, εραυνατε S† | τον ult. > B† || 15 σκεπασαι] και πασαις A || 17 η] ην B† || 18 δημος .. πολις] tr. S† || 20 εγνωμεν] pr. επ B*L*† | γενους] εθνους S† || 21 και λημφθησεται Ra.] κληθησ. compl., καθησ. BSA, ληφθησ. 58† (om. ουτως και praec.) | εκζητησει] εκ > B; + κυριος S*L*† | ημων ult.] παντων S†